οὕτως πληγήσεται, καὶ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται;
8 [8]μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς· οὐ σὺ ἦσθα ὁ με-
λετῶν τῷ πνεύματι τῷ σκληρῷ ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ;
9 [9]διὰ τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία Ιακωβ, καὶ τοῦτό ἐστιν ἡ εὐ-
λογία αὐτοῦ, ὅταν ἀφέλωμαι αὐτοῦ τὴν ἁμαρτίαν, ὅταν θῶσιν
πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομμένους ὡς κονίαν λε-
πτήν· καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν, καὶ τὰ εἴδωλα αὐτῶν
10 ἐκκεκομμένα ὥσπερ δρυμὸς μακράν. [10]τὸ κατοικούμενον ποίμνιον
ἀνειμένον ἔσται ὡς ποίμνιον καταλελειμμένον· καὶ ἔσται πολὺν
11 χρόνον εἰς βόσκημα, καὶ ἐκεῖ ἀναπαύσονται. [11]καὶ μετὰ χρόνον
οὐκ ἔσται ἐν αὐτῇ πᾶν χλωρὸν διὰ τὸ ξηρανθῆναι. γυναῖκες ἐρ-
χόμεναι ἀπὸ θέας, δεῦτε· οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν, διὰ
τοῦτο οὐ μὴ οἰκτιρήσῃ ὁ ποιήσας αὐτούς, οὐδὲ ὁ πλάσας αὐτοὺς
12 οὐ μὴ ἐλεήσῃ. [12]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συμφράξει κύριος
ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ ἕως Ῥινοκορούρων, ὑμεῖς δὲ συν-
13 αγάγετε τοὺς υἱοὺς Ισραηλ κατὰ ἕνα ἕνα. [13]καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ σαλπιοῦσιν τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν οἱ ἀπολό-
μενοι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων καὶ οἱ ἀπολόμενοι ἐν Αἰγύπτῳ
καὶ προσκυνήσουσιν τῷ κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν Ιερουσαλημ.
28 [1]Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ Εφραιμ· τὸ ἄνθος
τὸ ἐκπεσὸν ἐκ τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος, οἱ
2 μεθύοντες ἄνευ οἴνου. [2]ἰδοὺ ἰσχυρὸν καὶ σκληρὸν ὁ θυμὸς κυρίου
ὡς χάλαζα καταφερομένη οὐκ ἔχουσα σκέπην, βίᾳ καταφερομένη·
ὡς ὕδατος πολὺ πλῆθος σῦρον χώραν τῇ γῇ ποιήσει ἀνάπαυσιν
3 ταῖς χερσίν. [3]καὶ τοῖς ποσὶν καταπατηθήσεται ὁ στέφανος τῆς
4 ὕβρεως, οἱ μισθωτοὶ τοῦ Εφραιμ. [4]καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν
τῆς ἐλπίδος τῆς δόξης ἐπ᾽ ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ ὡς πρό-
δρομος σύκου, ὁ ἰδὼν αὐτὸ πρὶν ἢ εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν
5 θελήσει αὐτὸ καταπιεῖν. [5]τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος σαβαωθ ὁ
στέφανος τῆς ἐλπίδος ὁ πλακεὶς τῆς δόξης τῷ καταλειφθέντι μου
6 λαῷ· [6]καταλειφθήσονται ἐπὶ πνεύματι κρίσεως ἐπὶ κρίσιν καὶ ἰσχὺν
7 κωλύων ἀνελεῖν. — [7]οὗτοι γὰρ οἴνῳ πεπλανημένοι εἰσίν, ἐπλανή-

8 ο > B† | πνευμ. 1⁰] + σου S^c L || 9 η 1⁰ > BV† | θωσιν] θω A† || 11 και > SA† | χρονον] pr. πολυν S† || 12 συμφρ.] συνταραξει S | κυριος] ο θεος B | διωρυχος B: cf. 19 6 | τους υιους ισρ. / κατα ενα(> B†) ενα] tr. B = 𝔐 || 13 τη 2⁰] pr. εν AL | απολομ. 1⁰] απο ανατολων A† | εν ult. > B†

28 1 ανθος] + το ωραιον SC^p || 2 σκληρον] + παρα κυριου S*L | καταφερ. 1⁰ ⌒ 2⁰ S* | αναπαυμα B | ταις χερσ.] pr. και S*C || 3 καταπατ. BAC] pr. και SQL | του AQC] > BSL || 4 δοξης] ζωης B† | η > BC | λαβειν AQS^c C] + αυτο BS*L || 5 πλεκεις BS* | μου λαω A] + εν αιγυπτω B^c C; του λαου B*S, του λαου μου Q†, του λαου αυτου L || 6 καταλειφθησονται] -σεται SC; pr. και AB^c C, + γαρ QL || 7 πεπλαν.] πεπλημμελημενοι B*†